C ἀνθρώποις πληρουμένοις τῶν ἀληθινῶν ἀγαθῶν ἐνδίδωσιν ὁ τῦφος καὶ γίνεται τὸ οἴημα μαλακώτερον, καὶ παυόμενοι τοῦ διὰ πώγωνα καὶ τρίβωνα φρονεῖν μέγα τὴν ἄσκησιν ἐπὶ τὴν ψυχὴν μεταφέρουσι, καὶ τῷ δηκτικῷ καὶ πικρῷ χρῶνται πρὸς ἑαυτοὺς μάλιστα, τοῖς δ' ἄλλοις πρᾳότερον ἐντυγχάνουσι. τὸ δὲ φιλοσοφίας ὄνομα καὶ τὴν τοῦ φιλοσοφεῖν δόξαν οὐχ ἁρπάζουσιν αὑτοῖς ὡς πρότερον οὐδὲ προσγράφουσιν, ἀλλὰ καὶ προσαγορευθεὶς ὑφ' ἑτέρου ταύτῃ τῇ προσηγορίᾳ †φράσειεν ἂν εὐφυὴς νέος ὥστ' εἰπεῖν μειδιάσας καὶ ὑποπλησθεὶς ἐρυθήματος

D 'οὔ τοι ἐγὼ θεός εἰμι· τί μ' ἀθανάτοισιν ἐίσκεις;' (π 187)

'νέας' μὲν γὰρ 'γυναικός', ὡς Αἰσχύλος φησίν (fr. 243), οὐ λανθάνει

'φλέγων
ὀφθαλμός, ἥτις ἀνδρὸς ᾖ γεγευμένη'·

νέῳ δ' ἀνδρὶ γευσαμένῳ προκοπῆς ἀληθοῦς ἐν φιλοσοφίᾳ τὰ Σαπφικὰ ταυτὶ παρέπεται (fr. 2, 9)

'καμ μὲν γλῶσσα ἔαγε, λέπτον δ'
αὔτικα χρῷ πῦρ ὑποδεδρόμαικε'·

ἀθόρυβον δ' ὄψει καὶ πρᾷον ὄμμα, φθεγγομένου δ' ἂν ἀκοῦσαι ποθήσειας. ὡς γὰρ οἱ τελούμενοι κατ' ἀρχὰς ἐν θορύβῳ καὶ βοῇ πρὸς ἀλλήλους ὠθούμενοι συνίασι, δρωμένων δὲ καὶ
E δεικνυμένων τῶν ἱερῶν προσέχουσιν ἤδη μετὰ φόβου καὶ σιωπῆς, οὕτω καὶ φιλοσοφίας ἐν ἀρχῇ καὶ περὶ θύρας πολὺν θόρυβον ὄψει καὶ θρασύτητα καὶ λαλιάν, ὠθουμένων πρὸς τὴν δόξαν ἐνίων ἀγροίκως [τε] καὶ βιαίως· ὁ δ' ἐντὸς γενόμενος καὶ μέγα φῶς ἰδών, οἷον ἀνακτόρων ἀνοιγομένων, ἕτερον